| | | |
|---|---|---|
| 45 Psal. xxii. 19. | xix. 24. | Psal. xxii. 18. |
| יחלקו בגדי להם ועל־לבושי יפילו גורל | Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. | Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. |
| 46 Exod. xii. 46. | xix. 36. | Exod. xii. 46. |
| ועצם לא־תשברו־בו | Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. *Vid. Annot.* | Καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. |
| 47 Zech. xii. 10. | xix. 37. | Zech. xii. 10. |
| והביטו אלי את אשר־דקרו | Ὄψονται εἰς ὃν ἐξεκέντησαν. *Vid. Annot.* | Καὶ ἐπιβλέψονται πρὸς με, ἀνθ' ὧν κατωρχήσαντο. |
| 48 Psal. lxix. 26. | Act. i. 20. | Psal. lxix. 25. |
| תהי־טירתם נשמה באהליהם אל־יהי ישב | Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. *Vid. Annot.* | Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. |
| 49 Psal. cix. 8. | i. 20. | Psal. cix. 8. |
| פקדתו יקח אחר | Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. | Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. |
| 50 Joel iii. 1. &c. | ii. 17. &c. v. Rom. x. 11. | Joel ii. 28. &c. |
| והיה אחרי־כן אשפוך את־רוחי על־כל־בשר ונבאו בניכם ובנתיכם זקניכם חלמות יחלמון בחוריכם חזינות יראו: וגם על־העבדים ועל־השפחות בימים ההמה אשפוך את־רוחי: ונתתי מופתים בשמים ובארץ דם ואש ותמרות עשן: השמש יהפך לחשך והירח לדם לפני בוא יום יהוה הגדול והנורא: והיה כל אשר־יקרא בשם יהוה ימלט | Καὶ ἔσαι ἐν ταῖς ἐσχάταις ἡμέραις (λέγει ὁ Θεὸς) ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσαι, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. *Vid. Annot.* | Καὶ ἔσαι μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσωσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. Καὶ δώσω τέρατα ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην, καὶ ἐπιφανῆ. Καὶ ἔσαι, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται. |